# TEZAUR LITURGIC

## 26 FEBRUARIE

## ISIDORA AGHIROTITISSA

# PARACLISUL SF.MUCENIC IOAN CALFA DE LA CONSTANTINOPOL

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 26 ΦΕΒΡΟΥΑΡΙΟΣ
# ΙΩΑΝΝΗΣ ΝΕΟΜΑΡΤΥΣ ΚΑΛΦΑΣ
# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Ισιδώρας Μοναχής Αγιεροθεϊτίσσης**

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι’ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ’ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ’ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α’. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β’. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ’. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*

*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὡς λεπτουργὸς ἐν παλατίοις διῆγες, Ἀγαρηνῶν κατακτητῶν Ἰωάννη, κατακοσμῶν τοῖς ἔργοις σου αὐτῶν τὰς αὐλάς. Εἶτα δὲ τὸ Ὄνομα, τοῦ Θεοῦ τῶν ἁπάντων, θείως ὡμολόγησας, καὶ βασάνους ὑπέστης· διὰ τοῦ ξίφους δὲ τὴν κεφαλήν, Κάλφα ἐτμήθης, ὡς νέος ἐν Μάρτυσιν.

*Δόξα.*

Μητροπρεπῶς τοῦ Γαλατᾶ τὸ χωρίον, τῇ ἱερᾷ σου ἐπαγάλλεται μνήμῃ, καὶ ἐν ᾠδαῖς προσφέρει σοι, πρεπόντως τιμήν, ἡ Κωνσταντινούπολις, καυχωμένη τε χαίρει, ἔχουσα ὡς τίμημα, σῶν αἱμάτων τὰ ῥεῖθρα· ὦ Ἰωάννη Κάλφα τοῦ χοροῦ, Νεομαρτύρων, τὸ ἔξοχον ἄκουσα.

*Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Ἰωάννου Κάλφα, τοὺς ἄθλους ᾄδω. Ἰσιδώρας.*

*Ὠδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Ἰσχὺν οὐρανόθεν ἀναλαβών, πρὸς πάλην εἰσῆλθες, τῶν ἀθέων Ἀγαρηνῶν. ὦ Κάλφα γενναῖε Ἰωάννη, Νεομαρτύρων σφραγὶς ἡ ἀκίβδηλος.

Ὡς ἄστρον ἀνέτειλας τηλαυγές, δουλείας ἐν χρόνοις, ἐκ τῆς πόλεως Γαλατᾶ, ὦ Κάλφα παμμάκαρ Ἰωάννη· καὶ τὸ τῆς δόξης ἐκφαίνεις ἀπαύγασμα.

Ἀξίως τῆς κλήσεως πορευθείς, Χριστοῦ στρατιῶτα, μετὰ νίκης τιμητικῆς, ἐστέφθης ὦ Κάλφα Ἰωάννη, τῆς θείας πίστεως δείξας τὰ τρόπαια.

*Θεοτοκίον.*

Ναὸς καὶ παλάτιον τοῦ Θεοῦ, ἐδείχθης Παρθένε, ἀπειρόγαμε Μαριάμ, καὶ γὰρ ἐν κοιλίᾳ Σου ἀφράστως, ὁ Βασιλεὺς τῶν ἁπάντων ἐχώρησεν.

*Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Νεομάρτυς γενναῖος καὶ Ἀθλητὴς ἄριστος, Κάλφα Ἰωάννη ἐδείχθης, μετὰ στεῤῥότητος, πρὸς τοὺς ἀγῶνας ἐλθών, καὶ τὴν ἰσχὺν μεγαλύνας, τῆς ἁγίας πίστεως, ἣν ὡμολόγησας.

Ὁλοπόθῳ καρδίᾳ καὶ λογισμῷ κρείττονι, νόμον τοῦ Θεοῦ Ἰωάννη, Κάλφα ἠγάπησας, καὶ δι᾽ Αὐτὸν τῆς σαρκός, ἀποβαλὼν τὴν δειλίαν, ἀνδρικῶς πρὸς ἄθλησιν, Μάρτυς ἐχώρησας.

Ὑψηλῇ διανοίᾳ δεῦτε πιστοὶ ᾄσωμεν, Κάλφα Ἰωάννου τὸ σθένος, ἐν τοῖς παλαίσμασι, καὶ γὰρ πυρὶ αἰκισμῶν, δοκιμασθεὶς πολυτρόπως, ὡς χρυσὸς τῆς χάριτος, πλοῦτον περίκειται.

*Θεοτοκίον.*

Κυριώνυμε Κόρη τῶν οὐρανῶν Δέσποινα, κτίσεως ἁπάσης τῇ δόξῃ, ἡ ὑπερέχουσα, Ἀγγελικῶν στρατιῶν, ἡ ἐν τιμῇ ἀσυγκρίτως, ἀνωτέρα ᾄσμασι, Σὲ μεγαλύνομεν.

Ἀνάδειξον, ἡμᾶς τῆς πίστεως φύλακας Ἰωάννη, Νεομάρτυς τοῦ Ἰησοῦ, ὢ Κάλφα πολύαθλε, ὁ αἵμασι ταύτην καθυπογράψας.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Μαρτύρων Χριστοῦ τὸ νέον περιήχημα, στρατοῦ ἐκλεκτοῦ, ὁπλίτην τὸν ἀήττητον, ἱερῶς γηθόμενοι, Ἰωάννην στέψωμεν λέγοντες· ὢ Νεομάρτυς Κάλφα εὐμενῶς, προσδέχου σῶν δούλων τὰ ἐφύμνια.

*ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ἀδιστάκτως προσέδραμες, Κάλφα Ἰωάννη ἐν τοῖς παλαίσμασι· ὅθεν ἔλαβες τὸν ἔπαινον, τὸν τοῖς νέοις Μάρτυσιν ἐπάξιον.

Λεπτουργοῦ τὴν πολύτιμον, τέχνην ἐκ νεότητος ἣν ἐξέμαθες, Ἰωάννη Κάλφα ἤσκησας, σῆς ψυχῆς λεπτύνας τὰ νοήματα.

Φυλακῆς τὰ ἐπίπονα, ῥαβδισμῶν ὀδύνας καὶ πᾶσαν βάσανον, ὡς ἀδάμας καθυπέμεινας, Ἰωάννη Κάλφα καρτερόψυχε.

*Θεοτοκίον.*

Ἀπειρόγαμε Δέσποινα, τῶν ἁμαρτανόντων τὸ ἱλαστήριον, πρὸς Θεὸν τὸν εὐδιάλακτον, μητρικαῖς εὐχαῖς σου μὲ κατάλλαξον

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Τίς τὰς ἀρετάς, τὰς πολλάς σου διηγήσεται, Ἰωάννη Κάλφα νέε Ἀθλητάς ἢ τίς ἐξείποι, τὰ λαμπρά σου κατορθώματα;

Ὄμμασιν ψυχῆς, τῷ Κυρίῳ σου ἠτένιζες, παρ᾽ οὗ ἔλαβες τὴν ἄμαχον ἰσχύν, κατὰ βαρβάρων, Ἰωάννη Κάλφα ἔνδοξε.

Ὕπνον χαλεπόν, Ἰωάννη Κάλφα πόῤῥωθεν, ἀπεδίωξας καὶ ἤγγισας Θεῷ, ἐν ἐγρηγόρσει, τῆς τελείας Μάρτυς νήψεως.

*Θεοτοκίον.*

Σοὶ μετὰ χαρᾶς, Γαβριὴλ ὁ Ἀρχιστράτηγος, προσεφώνησε τὸ χαῖρε Μαριάμ, χαρᾶς γὰρ Κόρη, ἐναπέτεκες τὸ πλήρωμα.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ἀνένδοτον, πρὸς Θεὸν τὴν ἔφεσιν, καὶ ψυχῆς σου τὴν προαίρεσιν ἔχων, πρὸς αἰκισμούς, πρὸς ἀγῶνας μεγάλους, καὶ τὸ ξίφος ἀτρόμως ἐχώρησας, κερδίσας Κάλφα Ἀθλητά, Ἰωάννη βραβεῖα τὰ ἄφθαρτα.

Θαυμάζω σου, θαυμασμῷ αἰνέσεως, Ἰωάννη Νεομάρτυς Κυρίου, τὰς θαυμαστάς, καὶ πολλὰς ἀριστείας, τῆς ἱερᾶς καὶ καλῆς σου ἀθλήσεως, καὶ δόξης ἔπαινον κροτῶ, ἐν πρεπούσῃ τιμῇ Κάλφα ἔνδοξε.

Λεπτότερον, σῆς ψυχῆς τὸ ἔνδυμα, ἀπειργάσω Ἀθλητὰ Ἰωάννη, τοῦ λεπτουργοῦ, ἐξασκήσας γὰρ τέχνην, Ὀθωμανῶν κατεκόσμεις παλάτια, ὦ Κάλφα· ὅθεν εἰς Μονάς, Βασιλείας Θεοῦ νῦν παρίστασαι.

*Θεοτοκίον.*

Ὁ τόκος Σου, Παναγία Δέσποινα, τῶν Ἀγγέλων ἐξιστᾷ τὰς χορείας, καὶ τῶν βροτῶν, καταπλήττει τοὺς νόας, ὅτι Θεὸν ἀπειράνδρως ἐκύησας, καὶ ἔμεινας πάλιν ἁγνή, ὡς πρὸ τόκου Μαρία πανάσπιλε.

Ἀνάδειξον, ἡμᾶς τῆς πίστεως φύλακας Ἰωάννη, Νεομάρτυς τοῦ Ἰησοῦ, ὦ Κάλφα πολύαθλε, ὁ αἵμασι ταύτην καθυπογράψας.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.*

Πρὸς τὴν τρίβον τὴν μαρτυρικὴν προσεχώρησας, καὶ βασάνους τὰς πολυειδεῖς καθυπέμεινας, ὡς ἀδάμας καρτερικὴν κτησάμενος ἰσχύν· διὸ ἔθραυσας τῶν δυσμενῶν, τὴν ὑπερήφανον ὀρφῦν, καὶ τὸ θράσος

τὸ ἄλογον, στέφανον οὖν τῆς δόξης, ἐδέξω τῇ χορηγίᾳ, τοῦ ἀθλοθέτου σου Χριστοῦ, Ἰωάννη Κάλφα ἔνδοξε.

Προκείμενον: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ.: *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

*Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον.*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς, ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φρόνιμοι, ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι, ὡς αἱ περιστεραί. Προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων, παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς. Καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν. Ὅταν δὲ παραδιδῶσιν ὑμᾶς, μὴ μεριμνήσετε πῶς ἤ τι λαλήσετε. Δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τὶ λαλήσετε. Οὐκ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν, τὸ λαλοῦν ἐν ὑμῖν. Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον· καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς. Καὶ ἔσεσθαι μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

Δόξα: *Ταῖς τοῦ Ἀθλοφόρου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.
Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Θείως ἐπαγάλλεται, τοῦ Γαλατᾶ τὸ χωρίον, μητρικήν τε αἴνεσιν, εἰς τιμὴν ἑόρτιον προσκομίζει σοι, Ἀθλητὰ ἔνδοξε, Ἰωάννη Κάλφα, Νεομάρτυς παναοίδιμε, ὁμοῦ ἐγκώμια, ἡ Κωνσταντινούπολις πλέκει σοι, ἐκεῖσε ἀγωνίσματα, τὰ μαρτυρικὰ γὰρ διήνυσας· ξίφους τε τὸ τέλος, ἐδέξω καὶ τῆς δόξης ἀμοιβὴν, καὶ τὴν ζωὴν ἀνταπόδοσιν, δικαίοις τὴν πρέπουσαν.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Ὑλικῆς προσπαθείας καὶ δεσμῶν ἐπιγείων μετὰ συνέσεως, ἀπέφυγες τοὺς δόλους, ὦ Κάλφα Ἰωάννη, Νεομάρτυς καὶ ἥνωσαι, τῷ Σταυρωθέντι Χριστῷ, ἐν Ξύλῳ ἑκουσίως.

Συμφωνίας ἀῤῥήτου τὸ οὐράνιον μέλος καὶ ἀκατάληπτον, ὦ Κάλφα Ἰωάννη, σὺν Μάρτυσι τοῖς νέοις, τῷ Κυρίῳ συμψάλλετε, χοροστατοῦντες Αὐτοῦ, τῷ Θρόνῳ ἐν ὑψίστοις.

Ἀνδρειόφρονι γνώμῃ καὶ γενναίᾳ καρδίᾳ πρὸς τὰ παλαίσματα, εἰσῆλθες καὶ τῷ κράτει, Σταυροῦ τοῦ ζωηφόρου, κατὰ κράτος ἐνίκησας, Ἀγαρηνῶν τὰς ἀρχάς, ὦ Κάλφα Ἰωάννη.

*Θεοτοκίον.*

Δικαιώσεως χάριν τὴν σωτήριον πάντες διὰ τοῦ τόκου σου, ἐλάβομεν Παρθένε, οἱ πρώην ἐκπεσόντες, διὰ βρῶσιν εἰς θάνατον, δοξολογοῦμεν διό, τὴν Σὴν μεγαλωσύνην

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Ὡς ὑπερτάτη, ὡς παναλκή σου ἡ χάρις, ἐν ψυχῇ σου ἣν ἔσχες πλουσίως, Κάλφα Ἰωάννη, γενναῖε Νεομάρτυς.

Ἰδοὺ κραυγάζει, τοῦ Γαλατᾶ τὸ χωρίον, τὸν υἱόν μου προσάγω Κυρίῳ, σφάγιον ὡς νέον, τὸν Κάλφαν Ἰωάννην.

Σκεῦος ἐδείχθης, τῆς ἐκλογῆς ὡς ὁ Παῦλος, ἀναβάσει τοῦ σοῦ μαρτυρίου, καθηγιασμένον, ὦ Κάλφα Ἰωάννη.

*Θεοτοκίον.*

Ἱερωτέρα, Ἀγγελικῶν στρατευμάτων, Σὺ ὑπάρχεις Παρθένε Μαρία, Κύριον τῶν ὅλων, συνέσχες γὰρ χερσί Σου.

*Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Δικάζουσιν ἀντέστης, Κάλφα Ἰωάννη, καὶ κατενώπιον τούτων τὸν πάντων Κριτήν, καὶ Βασιλέα τῶν ὅλων, καθωμολόγησας.

Ὡραία σου ἡ ὄψις, Κάλφα Ἰωάννη, τοῦ μαρτυρίου τῷ κάλλει ἀστράπτει φαιδρῶς, καὶ Ἐκκλησίας λαμπρύνει, ἅπαν τὸ πρόσωπον.

Ῥανίσι σῶν αἱμάτων, Κάλφα Ἰωάννη, ἐν εὐπρεπείᾳ ποτίζεις πλουσίως τὴν γῆν, Κωνσταντινούπολις ὅθεν, καταγεραίρει σε.

Ἀγάλλου Ἰωάννη, Κάλφα Νεομάρτυς, καὶ εὐμενῶς ἐκδυσώπει τὸν πάντων Θεόν, πᾶσι ἡμῖν τῶν πταισμάτων, δοῦναι τὴν ἄφεσιν.

*Θεοτοκίον.*

Συμφώνως Θεοτόκε, χαῖρε τοῦ Ἀγγέλου, μετὰ χαρᾶς Σοι βοῶμεν, πιστῶν πατριαί· Σὺ γὰρ τῆς χάριτος ὅλης, ἔχεις τὸ πλήρωμα.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις γενναιότητος ἡ πυγμή, τῆς ὁμολογίας, τῆς καλλίστης τε ἡ ἰσχύς, Κάλφα Ἰωάννη, Κυρίου στρατιῶτα, στεῤῥῶν Νεομαρτύρων, ἡ ἐπισφράγισις.

Ἄγγελοι καὶ ἄνθρωποι συνῳδά, Κάλφαν Ἰωάννην, μεγαλύνουσιν ἐν ᾠδαῖς, οὗτος τῆς σαρκὸς γάρ, δειλίαν ἀποῤῥίψας, εὐτόλμως πρὸς ἀγῶνας, θείους ἐχώρησεν.

Ἴνδαλμα τῆς πλάνης Ἀγαρηνῶν, ὅλως κατεῤῥίφθη, τῇ ἀνδρείᾳ σου τῆς ψυχῆς, Κάλφα Ἰωάννη, ἀήττητε ὁπλῖτα, ἠγέρθη τε εἰς ὕψος, κέρας τῆς πίστεως.

Ῥόδα ὑμνῳδιίας μητροπρεποῦς, φέρει ἑορτίως, τὸ χωρίον σοι Γαλατᾶ, Κάλφα Ἰωάννη, καὶ χαῖρε ἀκολούθως, βοᾷ σοι γηθομένη, Κωνσταντινούπολις.

Ἕνα ἐν προσώποις τρισὶ Θεόν, Κύριον τῆς δόξης, μεγαλύνω καὶ προσκυνῶ, σέβω καὶ δοξάζων, ὁ Κάλφας Ἰωάννης, ἐνώπιον ἀθέων, ἀνθωμολόγησεν.

Σὺν τοῖς Νεομάρτυσι τὸν Θεόν, Κάλφα Ἰωάννη, ἐκδυσώπει ὑπὲρ ἡμῶν, ἵνα τοῦ ἐλέους, τυχόντες τοῦ μεγάλου, αἰῶνας εἰς αἰώνων, τοῦτον δοξάζομεν.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν...*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν*

*Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Τέχνη, μετελθὼν τοῦ λεπτουργοῦ, ἐν τοῖς παλατίοις διῆγες, Ὀθωμανῶν εὐκοσμῶν, ταῦτα ἐν λεπτότητι, σῆς ἐπιδόσεως. Εἶτα τούτοις ἐνώπιον, Χριστοῦ τὴν ἁγίαν, πίστιν ὡμολόγησας, καὶ καθυπέμεινας, ἄγλη, ἀνυποίστων βασάνων, ῥείθροις σῶν αἱμάτων σφραγίσας, Κάλφα Ἰωάννη τὸ μαρτύριον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

